ἀγαγεῖν, οὐ πάνυ· ταῖς τε γὰρ ὄψεσι καὶ τοῖς μύθοις πρὸς ἔκπληξιν τερατώδη μᾶλλον ἢ πρὸς ἀπάτην κέχρηται. Απῆρε δὲ ὡς Ἱέρωνα τὸν Σικελίας τύραννον, κατά τινας μὲν, ὡς ὑπὸ Αθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι τῷ Σοφοκλεῖ· κατὰ δὲ ἐνίους, ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. Τινὲς δέ φασιν, ἐν τῇ ἐπιδειξει τῶν Εὐμενίδων σποράδην εἰσαγαγόντα τὸν χορὸν, τοσοῦτον ἐκπλῆξαι τὸν δῆμον, ὥστε τὰ μὲν νήπια ἐκψύξαι, τὰ δὲ ἔμβρυα ἐξαμβλωθῆναι.

Ελθὼν τοίνυν εἰς Σικελίαν, Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος, ἐπεδείξατο τὰς Αἰτναίας, οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικοῦσι τὴν πόλιν. Καὶ σφόδρα τῷ τυράννῳ Ἱέρωνι καὶ τοῖς Γελώοις τιμηθεὶς, ἐπιζήσας τρίτον ἔτος, ὢν ἐτῶν πέντε πρὸς τοῖς ἑξήκοντα, τοῦτον ἐτελεύτα τὸν τρόπον. Αετὸς χελώνην ἁρπάσας, ὡς ἐγκρα-